μνημονεύει, γενομένου Ἀθηναίοις πρὸς Φωκέας ὑπὲρ τοῦ ἐν Δελφοῖς ἱεροῦ. ἐσχεδίασαι δὲ ὑπ' αὐτῶν, οὐ γὰρ πρὸς Φωκέας ὑπὲρ τούτου ἐπολέμησαν, ἀλλ' ὑπὲρ Φωκέων, διὰ τὸ πρὸς Λακεδαιμονίους ἔχθος. γεγόνασι δὲ δύο πόλεμοι ἱεροί. πρότερος μὲν Λακεδαιμονίοις πρὸς Φωκεῖς ὑπὲρ Δελφῶν. καὶ κρατήσαντες τοῦ ἱεροῦ Λακεδαιμόνιοι τὴν προμαντείαν παρὰ Δελφῶν ἔλαβον. ὕστερον δὲ τρίτῳ ἔτει τοῦ A προτέρου πολέμου, Ἀθηναίοις πρὸς Λακεδαιμονίους ὑπὲρ Φωκέων. καὶ τὸ ἱερὸν ἀποδεδώκασι Φωκεῦσι. καθάπερ καὶ Φιλόχορος ἐν τῇ τετάρτῃ λέγει. καλεῖται δὲ ἱερός, ὅτι περὶ τοῦ ἐν Δελφοῖς ἱεροῦ ἐγένετο. ἱστορεῖ περὶ αὐτοῦ καὶ Θουκυδίδης καὶ Ἐρατοσθένης ἐν τῷ ἐνάτῳ, καὶ Θεόπομπος ἐν τῷ κε. Μοιχεύοντες.] διὰ τοῦ πληθυντικοῦ ηὔξησε τὴν διαβολήν.

| | | |
|---|---|---|
| Καὶ τὰς Ἀλόπας. καὶ τὰς Σεμέλας, ἤνπερ δ' ἐπιῶσι βάλλειν | | *Et alopas, & semelas. si autem inuadunt iacere,* |
| Σφραγῖδ' αὐτοῖς ἐπὶ τὴν ψωλὴν ἵνα μὴ βινῶσ' ἔτι κείνας. | B | *Sigillum ipsis in crus ut non coëant amplius illas.* |
| Τοῖς δ' ἀνθρώποις ὄρνιν ἕτερον πέμψαι κήρυκα κελεύω. | | *Hominibus autem alterum mittere praeconem iubeo,* |
| Ὡς ὀρνίθων βασιλευόντων, θύειν ὄρνισι τὸ λοιπόν. | | *Tanquam auibus regnantibus sacrificare auibus in futurum,* |
| Κἄπειτα θεοῖς ὕστερον αὖθις. προσνείμασθαι δὲ πρεπόντως | | *Et postea deis nouissimè iterum. attribuere autem decenter* |
| Τοῖσι θεοῖσι τῶν ὀρνίθων, ὃ ἂν ἁρμόζῃ καθ' ἕκαστον. | C | *Deis auium, quod congruat unicuique.* |
| Ἢν Ἀφροδίτῃ θύῃ πυρούς, ὄρνιθι φαληρίδι θύειν. | | *Si Veneri sacrificet, frumenta aui phaleridi sacrificare.* |
| Ἢν δὲ Ποσειδῶνί τις οἶν θύῃ, νήττῃ πυροὺς καταγίζειν. | | *Si autem Neptuno quis suem sacrificet, † noctuae († anati) sacrificare.* |
| Ἢν δ' Ἡρακλεῖ τις βοῦν, λάρῳ ναστοὺς θύειν μελιτοῦττας. | | *Si autem Herculi quis bouem, laro placētas sacrificare mellitas,* |
| Κἂν Διὶ θύῃ βασιλεῖ κριόν, βασιλεύς ἐστ' ὀρχίλος ὄρνις, | D | *Etsi Ioui sacrificet regi arietem, rex est orchilus auis:* |
| Ὧ προτέρῳ δεῖ τοῦ Διὸς αὐτοῦ, σέρφον ἔνορχιν σφαγιάζειν. | | *Cui priori decet Ioue ipso, serphum marem mactare.* |
| Ευ. Ἥσθην σέρφῳ σφαγιαζομένῳ βροντάτω νῦν ὁ μέγας Ζάν. | | *Ευ. Laetatus sum serpho mactato, tonet nūc magnus Iupiter.* |
| Επ. Καὶ πῶς ἡμᾶς νομιοῦσι θεοὺς ἄνθρωποι, κοὐχὶ κολοιούς | | *EP. Et quomodo nos putant deos homines, & non graculos,* |
| Οἳ πετόμεσθα, πτέρυγάς τ' ἔχομεν. Πι. ληρεῖς. καὶ νὴ Δί' ὅ γ' Ἑρμῆς | | *Qui volamus, alásque habemus? PI. nugaris. & per Iouem Mercurius* |
| Πέταται, θεὸς ὤν, πτέρυγάς τε φορεῖ. κἄλλοι γε θεοὶ πάνυ πολλοί. | E | *Volat deus existens, alásque fert, & alij dei valde multi.* |
| Αὐτίκα Νίκη πέταται πτερύγοιν χρυσαῖν. καὶ νὴ Δί' Ἔρως γε. | | *Statim victoria volat alis aureis, & per Iouem amor.* |
| Ἶριν δέ γ' Ὅμηρος ἔφασκ' ἰκέλην εἶναι τρήρωνι πελείῃ. | | *Irim autem Homerus dixit similem esse timidae columbae.* |
| Επ. Ὁ Ζεὺς δ' ὑμῖν οὐ βροντήσας, πέμψει πτερόεντα κεραυνόν. | | *EP. Iupiter autem vobis non tonans mittet alatum fulmen?* |
| Πι. Ἢν δ' οὖν ὑμᾶς μὲν ὑπ' ἀγνοίας εἶναι νομίσωσι τὸ μηδέν. | F | *PI. Si autem igitur vos quidem prae ignorantia esse putabunt nihil.* |
| Τούτοις δὲ θεοὺς τοὺς ἐν Ὀλύμπῳ, τότε χρὴ στρουθῶν νέφος ἀρθὲν, | | *Hos autem deos illos in Olympo, tūc oportet passerum nubem eleuatam,* |

Σχόλια. Καὶ τὰς Ἀλόπας.] Ἀλόπη Κερκυόνος θυγάτηρ. ᾗ καὶ Ποσειδῶνος υἱὸς Ἱπποθόων συνῆν. Θύειν ὄρνισι πρὸ τῶν θεῶν.] τὸ λοιπὸν δὲ εἰς τὸ ἔμπροσθεν. προσνείμασθαι δὲ μερίσαι καὶ προσοικειῶσαι ἕκαστον ὄρνιν ἑκάστῳ θεῷ.

Bisetus. Ὁ δὲ τούτων νοῦς ἐστί, εἰς τὸν λοιπὸν χρόνον δεῖ τοὺς ἀνθρώπους πρότερον μὲν τοῖς ὄρνισι θύειν, ὡς ἁπάντων βασιλείαν ἔχουσιν, ἔπειτα δὲ, τοῖς θεοῖς ὕστερον, ὡς τῶν ὀρνίθων βασιλευόντων πολλῷ ὑποδεεστέροις.

Σχόλια. Ἢν Ἀφροδίτῃ θύῃ πυρούς.] πυροὺς λέγει τῇ Ἀφροδίτῃ θύειν, ἐπειδὴ ἑφθοὶ πυροὶ πρὸς συνουσίαν ἐγερτικοί. ἡ δὲ φαληρίς, ὀρνεόν ἐστι λιμναῖον εὐπρεπές. ἐσχημάτισε δὲ παρὰ τὸν φαλλόν. Ἢν δὲ Ποσειδῶνι.) χαρίζεται Ποσειδῶνι βοῦν τις θύῃ. νῆττα δὲ παρὰ τὸ νήχεσθαι. ἐπεὶ ἔνυδρον τὸ ζῶον. τῷ Ποσειδῶνι δὲ, ἐν ὑγρῷ ἡ δίαιτα. G Ἢν δ' Ἡρακλεῖ θύῃ τις.] τὸν λάρον διὰ τὴν ἀδηφαγίαν Ἡρακλεῖ προσανάπτει. ναστὸς δὲ, μέγας πλακουντώδης ἄρτος. ὁ δὲ Ἀσκληπιάδης φησὶν εὐτελῆ πλακοῦντα. μελιτοῦττας δὲ μέλιτι δεδευμένας. τὸ δὲ πλῆρες. ναστοὺς καὶ μελιτούττας. λείπει γὰρ ὁ καὶ σύνδεσμος. Ὀρχίλος ὄρνις] διὰ τὰς μοιχείας τοῦ Διός, τὸν ὄρνιν παρέλαβεν. ἐπλάσατο δὲ τὸ ὄνομα τοῦ ὄρνιθος, ἐπεὶ κατωφερὴς ὁ

Ζεὺς καὶ